www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ
## ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ
# ΜΑΞΙΜΟΥ
## ΤΟΥ ΟΜΟΛΟΓΗΤΟΥ

ΠΟΙΗΘΕΙΣΑ ΕΝ ΑΓΙῼ ΟΡΕΙ
ΥΠΟ **ΓΕΡΑΣΙΜΟΥ** ΜΟΝΑΧΟΥ **ΜΙΚΡΑΓΙΑΝΝΑΝΙΤΟΥ**
ΥΜΝΟΓΡΑΦΟΥ ΤΗΣ ΜΕΓΑΛΗΣ ΤΟΥ ΧΡΙΣΤΟΥ ΕΚΚΛΗΣΙΑΣ

ΕΚΔΙΔΟΤΑΙ
ΠΡΟΝΟΙᾼ ΤΟΥ ΑΡΧΙΜ. ΜΑΞΙΜΟΥ ΜΑΤΘΑΙΟΥ

ΕΓΚΡΙΣΕΙ ΤΗΣ ΙΕΡΑΣ ΣΥΝΟΔΟΥ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

Ἐν Ἀθήναις 2011

www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ
# ΤΟΥ ΟΣΙΟΥ ΜΑΞΙΜΟΥ
# ΤΟΥ ΟΜΟΛΟΓΗΤΟΥ

www.tezaurliturgic.ro

# ΑΚΟΛΟΥΘΙΑ

## ΤΟΥ ΟΣΙΟΥ ΚΑΙ ΘΕΟΦΟΡΟΥ ΠΑΤΡΟΣ ΗΜΩΝ

# ΜΑΞΙΜΟΥ

## ΤΟΥ ΟΜΟΛΟΓΗΤΟΥ

ΠΟΙΗΘΕΙΣΑ ΕΝ ΑΓΙῼ ΟΡΕΙ
ΥΠΟ **ΓΕΡΑΣΙΜΟΥ** ΜΟΝΑΧΟΥ **ΜΙΚΡΑΓΙΑΝΝΑΝΙΤΟΥ**
ΥΜΝΟΓΡΑΦΟΥ ΤΗΣ ΜΕΓΑΛΗΣ ΤΟΥ ΧΡΙΣΤΟΥ ΕΚΚΛΗΣΙΑΣ

ΕΚΔΙΔΟΤΑΙ
ΠΡΟΝΟΙᾼ ΤΟΥ ΑΡΧΙΜ. ΜΑΞΙΜΟΥ ΜΑΤΘΑΙΟΥ

ΕΓΚΡΙΣΕΙ ΤΗΣ ΙΕΡΑΣ ΣΥΝΟΔΟΥ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

Ἐν Ἀθήναις 2011

www.tezaurliturgic.ro

© Ἀρχιμ. Μάξιμος Μ. Ματθαῖος

Στοιχειοθεσία, Ἐκτύπωση, Βιβλιοδεσία:
Ἀποστολικὴ Διακονία τῆς Ἐκκλησίας τῆς Ἑλλάδος,
Ἰασίου 1, Ἀθῆναι 115 21, Τηλ. 210-72.72.381

Ἔκδοση Α΄ 2011

www.tezaurliturgic.ro



www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

☧
ΕΛΛΗΝΙΚΗ ΔΗΜΟΚΡΑΤΙΑ
# Η ΙΕΡΑ ΣΥΝΟΔΟΣ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ
ΙΩΑΝΝΟΥ ΓΕΝΝΑΔΙΟΥ 14 (115 21)
ΤΗΛ. 210-72.72.204, FAX 210-72.72.210

Πρωτ. 3689
Ἀριθμ.
Διεκπ. 2790

Ἀθήνησι 8η Δεκεμβρίου 2010

Πρός
Τήν Ἱεράν Ἀρχιεπισκοπήν Ἀθηνῶν.
Ἐ ν τ α ῦ θ α.

Ἐκ Συνοδικῆς Ἀποφάσεως, ληφθείσης ἐν τῇ Συνεδρίᾳ τῆς Διαρκοῦς Ἱερᾶς Συνόδου τῆς 7ης μηνός Δεκεμβρίου 2010 καί εἰς ἀπάντησιν τοῦ ὑπ' ἀριθμ. 1375/ΕΞ. 2858/16.9.2010 ὑμετέρου ἐγγράφου, περί ἐγκρίσεως ὑπό τῆς Ἱερᾶς Συνόδου «*Συμπληρωματικῆς Ἱερᾶς Ἀκολουθίας τοῦ Ὁσίου καί Θεοφόρου Πατρός ἡμῶν Μαξίμου τοῦ Ὁμολογητοῦ*», ποιηθείσης ὑπό τοῦ ἀοιδίμου Ὑμνογράφου τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας Μοναχοῦ Γερασίμου Μικραγιαννανίτου, γνωρίζομεν ὑμῖν, ὅτι κατόπιν καί τῆς ὑπ' ἀριθμ. 152/19.11.2010 Εἰσηγήσεως τῆς Συνοδικῆς Ἐπιτροπῆς Θείας Λατρείας καί Ποιμαντικοῦ Ἔργου, ἐγκρίνεται **διά τοπικήν χρῆσιν** ἡ ὡς ἄνω Ἱερά Ἀκολουθία, ὡς καλῶς ἔχουσα, καθ' ὅσον οὐδέν τό ἀπᾷδον πρός τε τά Δόγματα καί τάς Παραδόσεις τῆς καθ' ἡμᾶς Ἁγιωτάτης Ἐκκλησίας περιέχεται ἐν αὐτῇ.

Ὅθεν παρακαλοῦμεν ὑμᾶς, ὅπως κατά τήν τάξιν ὑποβάλητε πέντε (5) ἀντίτυπα τῆς ἐκδοθησομένης ἀνωτέρω Ἱερᾶς Ἀκολουθίας διά τό Ἀρχεῖον τῆς Συνοδικῆς Ἐπιτροπῆς Θείας Λατρείας καί Ποιμαντικοῦ Ἔργου.

Ἐντολῇ τῆς Ἱερᾶς Συνόδου
Ὁ Ἀρχιγραμματεύς

† Ἀρχιμ. Μᾶρκος Βασιλάκης

Κοινοποίησις:
Συνοδικήν Ἐπιτροπήν
Θείας Λατρείας καί Ποιμαντικοῦ Ἔργου.
Π α ρ' ἡ μ ῖ ν.

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

# ΠΡΟΛΟΓΟΣ

*Τοῦ «Παμμεγίστου» Ὁσίου καὶ Θεοφόρου Πατρὸς ἡμῶν Μαξίμου τοῦ Ὁμολογητοῦ, ὡς γνωστόν, ἡ ἀκολουθία εὕρηται εἰς τὸ Μηναῖον τοῦ Ἰανουαρίου ΚΑ´ ὑπὸ μορφὴν μὴ ἑορτάσιμον, διὸ διὰ τοὺς τιμῶντας τὴν ἱερὰν μνήμην αὐτοῦ, ὁ ἀοίδιμος Ὑμνογράφος τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας Μοναχὸς Γεράσιμος Μικραγιαννανίτης συνέταξεν ὑμνογραφικὸν συμπλήρωμα αὐτῆς, τῇ παρακλήσει τοῦ ἀειμνήστου Μητροπολίτου Σερρῶν καὶ Νιγρίτης Κυροῦ Μαξίμου (Ξύδα).*

*Αὐτὸ τὸ συμπληρωματικὸν ποίημα κατέχοντες, ἐκ τοῦ εἰρημένου ἀοιδίμου Μητροπολίτου, ὅστις ἐχειροτόνησεν ἡμᾶς εἰς Πρεσβύτερον, ἐκδίδομεν σήμερον τὴν Ἱερὰν Ἀκολουθίαν τοῦ Ὁσίου συμπεπληρωμένην πλέον, ἀφιεροῦντες τὴν ἔκδοσιν ταύτην τῷ Μακαριωτάτῳ Ἀρχιεπισκόπῳ Ἀθηνῶν καὶ Πάσης Ἑλλάδος Κυρίῳ Κυρίῳ Ἱερωνύμῳ Β´, τῷ κείραντι ἡμᾶς καὶ δόντι ἡμῖν τὸ μοναχικὸν ὄνομα «Μάξιμος», χειροτονήσαντι δ᾽ ἔτι ἡμᾶς εἰς Διάκονον.*

*Ἀθήνησι, τῇ 21ῃ τοῦ μηνὸς Ἰανουαρίου 2011*

*Ἀρχιμ. Μάξιμος Μ. Ματθαῖος*

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro



## Ἰανουαρίου κα΄
## Μνήμη τοῦ ὁσίου καὶ θεοφόρου πατρὸς ἡμῶν Μαξίμου τοῦ Ὁμολογητοῦ

### ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ

Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος β΄. Ὅτε ἐκ τοῦ ξύλου.

Ὅτε τῆς σοφίας τῷ φωτί, ἔλαμψας ὡς ἥλιος μέγας Μάξιμε Ὅσιε, τότε περιβόητος λόγοις καὶ πράξεσι, βασιλεῦσι καὶ ἄρχουσι, καὶ πᾶσι δημόταις, ὤφθης τῇ λαμπρότητι, τῆς πολιτείας σου· ὅθεν καὶ αἱρέσεως πᾶσαν, ἔλυσας τὴν νύκτα τῷ φέγγει, τῶν ὀρθῶν δογμάτων σου μακάριε.

Ὅτε ὁδηγίᾳ θεϊκῇ, ζήλῳ πυρπολούμενος θείῳ, εἰς Ῥώμην ἔδραμες, τότε τὸν Ὑπέρθεον Λόγον καὶ Κύριον, ἐν μιᾷ ἀνεκήρυξας, Πάτερ ὑποστάσει, ἐν δυσὶ ταῖς φύσεσι, καὶ ταῖς θελήσεσιν· ὅθεν καὶ ποικίλας ὑπέστης, Μάξιμε πικρὰς τιμωρίας, καὶ μαρτυρικῆς δόξης ἠξίωσαι.

Ὅτε ἐξορίας τὰς πικράς, ἐν ἀγαλλιάσει καρδίας, Μάξιμε ἤνεγκας, τότε τὸ Ὀρθόδοξον δόγμα ἐκράτυνας, μονοθέλητον

www.tezaurliturgic.ro

αἵρεσιν, ἐλέγχων εἰς τέλος, λόγοις θεοσόφοις σου, καὶ θείοις δόγμασιν· ὅθεν ἡ Χριστοῦ Ἐκκλησία, τῇ ὁμολογίᾳ σου χαίρει, τὴν λαμπράν σου μνήμην ἑορτάζουσα.

Χεῖρα καὶ τὴν γλῶτταν ἐκτμηθείς, Πάτερ ὠμοτάτῃ καρδίᾳ τοῦ σὲ διώκοντος, ὤφθης ἀκατάβλητος, πύργος τῆς πίστεως, καὶ αἱρέσεως ἅπασαν, καθεῖλες τὴν πλάνην, ἐν δυσὶ ταῖς φύσεσι, καὶ ὑποστάσει μιᾷ, Πάτερ τὸν Σωτῆρα κηρύττων, Μάξιμε σοφίας ταμεῖον, καὶ θεολογίας θεῖον ὄργανον.

Δόξα. Ἦχος α΄.

Τῆς θύραθεν τρυφήσας παιδείας, τὴν πολυποίκιλον τοῦ Θεοῦ σοφίαν, τὴν κεκρυμμένην ἐν μυστηρίῳ ἐξεζήτησας Μάξιμε· καὶ ἐν ἀποκαλύψει ταύτης γεγονώς, σὺν τῷ θείῳ Παύλῳ ἐβόας· Ὢ βάθος πλούτου, καὶ σοφίας καὶ γνώσεως Θεοῦ! ἃ γὰρ ὀφθαλμὸς οὐκ εἶδε, καὶ οὖς οὐκ ἤκουσε, καὶ ἐπὶ καρδίαν ἀνθρώπου οὐκ ἀνέβη, ἃ ἡτοίμασεν Κύριος τοῖς ἀγαπῶσιν αὐτόν. Ἀλλ' ὡς τούτων μέτοχος, κοινωνοὺς καὶ ἡμᾶς αὐτῶν ἀνάδειξον, ταῖς πρὸς Θεὸν πρεσβείαις σου, Μάξιμε Πατέρων ἀγλάϊσμα.

Καὶ νῦν. Θεοτοκίον.

Ἁμαρτωλῶν τὰς δεήσεις προσδεχομένη, καὶ θλιβομένων στεναγμὸν μὴ παρορῶσα, πρέσβευε τῷ ἐξ ἁγνῶν λαγόνων σου, σωθῆναι ἡμᾶς, Παναγία Παρθένε.

Ἀπόστιχα.

Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.

Πνεύματος τῷ πυρί, καταλαμφθεὶς τὴν φρένα, ἐξέλαμψας τῷ κόσμῳ, ὡς μύστης τῶν ἀρρήτων, Μάξιμε θεοδόξαστε.

www.tezaurliturgic.ro

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Ῥήτωρ θεοειδής, τῆς θεϊκῆς σοφίας, ἐδείχθης θεηγόρε, δογμάτων οὐρανίων, τὴν γνῶσιν ἐκτιθέμενος.

Στίχ. Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

Δύο ἐν τῷ Χριστῷ, φύσεις καὶ ἐνεργείας, ὢ Μάξιμε κηρύττων, ὁμολογίας ἄθλους, μαρτυρικῶς διήθλησας.

Δόξα. Τριαδικόν.

Στόματι ἱερῷ, Τριάδος τῆς Ἁγίας, τὰς ὑπὲρ νοῦν ἐλλάμψεις, ὡς θέμις ἀναπτύσσων, ἡμᾶς πυρσεύεις Μάξιμε.

Καὶ νῦν. Θεοτοκίον.

Τέτοκας μυστικῶς, μιᾷ ἐν ὑποστάσει, διπλοῦν δὲ κατ' οὐσίαν, τὸν Ζωοδότην Λόγον, Παρθένε κόσμον σῴζοντα.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον, τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ

Ἀπόλυσις.

www.tezaurliturgic.ro

## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους ϛ´ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια τοῦ Ἁγίου.

Ἦχος δ´. Ὡς γενναῖον ἐν Μάρτυσι.

Τὸν δι' οἶκτον γενόμενον, ὡς εὐδόκησεν ἄνθρωπον, ἐν δυσὶ θελήσεσιν ἐνεργείαις τε, κατανοούμενον Ὅσιε, ἐκήρυξας Μάξιμε, ἀποφράττων μιαρῶν, τὰ ἀπύλωτα στόματα, μονοθέλητον, μονενέργητον τοῦτον δοξαζόντων, ἐπηρείᾳ διαβόλου, τοῦ τὴν κακίαν τεκτήναντος.

Ταῖς νευραῖς τῶν δογμάτων σου Πύρρον, Πάτερ ἀπέπνιξας, ληδωροῦντα Μάξιμε τὸν κακόφρονα· καὶ διωγμοὺς ἐκαρτέρησας, καὶ θλίψεις ἀοίδιμε, μαστιζόμενος δεινῶς, καὶ τὴν γλῶτταν τεμνόμενος, καὶ τὴν πάντοτε, πρὸς Θεὸν αἰρομένην θείαν χεῖρα, δι' ἧς γράφων διετέλεις, τὰ ὑψηλότατα δόγματα.

Ὀξυγράφου ὡς κάλαμος, τεθηγμένη τῷ Πνεύματι, ἡ ἁγία γέγονε Πάτερ γλῶσσά σου, καλλιγραφοῦσα ἐν χάριτι, πλαξὶ καρδιῶν ἡμῶν, τόμον θείων ἀρετῶν, καὶ δογμάτων ἀκρίβειαν, καὶ τὴν σάρκωσιν, τοῦ ἐν δύο οὐσίαις τοῖς ἀνθρώποις, καὶ μιᾷ τῇ ὑποστάσει, ἐμφανισθῆναι θελήσαντος.

www.tezaurliturgic.ro

Ἦχος β΄. Ποίοις εὐφημιῶν.

Ποίοις εὐφημιῶν ἄνθεσιν, ἀναδήσωμεν τὸν θεηγόρον; Μάξιμον σοφίας τὸ τέμενος, καὶ Θεολογίας τὴν σάλπιγγα, τὸν λαμπρὸν φωστῆρα τῆς Τριάδος· τὸ στόμα, τῆς Ἐκκλησίας τὸ πολύσοφον· τὴν γλῶτταν, τῆς ἀληθείας τὴν θεόφθογγον, τὴν ἀπὸ δόξης εἰς δόξαν, ἱερῶν προόδων, ὁδηγοῦσαν θεοπρεπῶς, ἡμῶν τὴν διάνοιαν, ἐν Ἁγίῳ ὄντως Πνεύματι.

Ποίοις ᾀσματικοῖς μέλεσιν, ἀνυμνήσωμεν τὸν θεοφόρον; τὸν τῶν ἀρετῶν ὑφηγήτορα, καὶ σεπτῶν προσόντων ἐκφάντορα, τῆς διπλῆς ἀγάπης τὸ ταμεῖον· τὸν λύχνον, τῆς εὐσεβείας τὸν πολύφωτον· τὸν στῦλον, τῆς Ἐκκλησίας τὸν ἀσάλευτον· τὸν ἐν σοφίᾳ πλουσίᾳ, θύραθεν καὶ θείᾳ, ἐκπαιδεύοντα τοὺς πιστούς, πρὸς γνῶσιν σωτήριον, τὸν σοφὸν καὶ μέγαν Μάξιμον.

Ποίοις ᾀσματικοῖς ᾄσμασιν, εὐφημήσωμεν τὸν θεηγόρον; τῆς ὁμολογίας τὸν πρόμαχον, καὶ Ὀρθοδοξίας τὸν πρόβολον, τὸν πανσόφοις δόγμασι καὶ λόγοις, τὸν Λόγον, διπλοῦν τὴν φύσιν καὶ τὴν θέλησιν, ἀτρέπτως, μετὰ τὴν σάρκωσιν κηρύξαντα, ἐν ὑποστάσει μιᾷ δέ, καὶ ὑπερορίαις, ὁμιλήσαντα χαλεπαῖς, τὸν πάνσοφον Μάξιμον, τοῦ Χριστοῦ φίλον τὸν γνήσιον.

Δόξα. Ἦχος πλ. δ΄.

Τῆς τοῦ Πνεύματος βουλῆς, ἐλλαμφθεὶς τῇ σοφίᾳ, ἐν αὐτῇ τῶν ἀρρήτων τὴν γνῶσιν, ἔγνως Ὅσιε· ἐν λόγῳ γὰρ τὸν βίον διάγων, ἐν τῇ εἰκόνι τοῦ Λόγου, τὸν νοῦν ἐθέωσας· καὶ τῇ ὑπὲρ νοῦν τελεσθεὶς ἑνώσει, τὴν ἐν τῇ θεαρχίᾳ ἕνωσιν οἷα Μονάδος, καὶ ἄτμητον διαίρεσιν ὡς Τριάδος, θεοπτικῶς ἐθεολόγησας· καὶ τὴν ἐν Χριστῷ οἰκονομίαν, εὐσήμῳ γλώσσῃ διατρανῶν, διπλοῦν τῇ οὐσίᾳ καὶ ἐνεργείᾳ, τὸν σαρκωθέντα Υἱὸν ἐκήρυξας, ἐν ἑαυτῷ τὸ τὸ ἡμέτερον, ἀτρέπτως ὑποστήσαντα φύραμα. Καὶ νῦν, ὁμολογίας διαπρέπων τῇ

www.tezaurliturgic.ro

δόξῃ, ὡς θεολόγος θεοειδής, καὶ μάρτυς ἐννομώτατος, ἵλεως ἡμᾶς ἐποπτεύοις Μάξιμε Πατὴρ ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Ὁ Βασιλεὺς τῶν οὐρανῶν, διὰ φιλανθρωπίαν, ἐπὶ τῆς γῆς ὤφθη, καὶ τοῖς ἀνθρώποις συνανεστράφη. Ἐκ Παρθένου γὰρ ἁγνῆς, σάρκα προσλαβόμενος, καὶ ἐκ ταύτης προελθὼν μετὰ τῆς προσλήψεως, εἷς ἐστὶν Υἱός, διπλοῦς τὴν φύσιν, ἀλλ᾽ οὐ τὴν ὑπόστασιν· διὸ τέλειον αὐτὸν Θεόν, καὶ τέλειον ἄνθρωπον, ἀληθῶς κηρύττοντες, ὁμολογοῦμεν Χριστὸν τὸν Θεὸν ἡμῶν. Ὃν ἱκέτευε Μῆτερ Ἀνύμφευτε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἴσοδος, Φῶς ἱλαρόν, τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

**Παροιμιῶν τὸ Ἀνάγνωσμα**

(Κεφ. ι΄7, γ΄ 13)

Μνήμη δικαίου μετ᾽ ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν· καὶ θνητός, ὃς οἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν· οὐκ ἀντιτάσσεται αὐτῇ οὐδὲν πονηρόν· εὔγνωστός ἐστι πᾶσι τοῖς ἐγγίζουσιν αὐτήν· πᾶν δὲ τίμιον, οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα, σεμνὰ γὰρ ἐρῶ· καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ Σοφία κατεσκεύασα βουλὴν καὶ γνῶσιν καὶ ἔννοιαν, ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν.

www.tezaurliturgic.ro

Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν, σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε Πνεύματος.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα**
(Κεφ. γ΄ 1)

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

**Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα**
(Κεφ. δ΄ 14)

Στόμα δικαίου ἀποστάζει σοφίαν, χείλη δὲ ἀνδρῶν ἐπίστανται χάριτας· στόμα σοφῶν μελετᾷ σοφίαν. Δικαιοσύνη δὲ ῥύεται αὐτοὺς ἐκ θανάτου. Τελευτήσαντος ἀνδρὸς δικαίου, οὐκ ὄλλυται ἐλπίς· υἱὸς γὰρ δίκαιος γεννᾶται εἰς ζωήν· καὶ ἐν ἀγαθοῖς αὐτοῦ καρπὸν δικαιοσύνης τρυγήσει. Φῶς δικαίοις διὰ παντός, καὶ παρὰ

www.tezaurliturgic.ro

Κυρίου εὑρήσουσι χάριν καὶ δόξαν. Γλῶσσα σοφῶν καλὰ ἐπίσταται· καὶ ἐν καρδίᾳ αὐτῶν ἀναπαύσεται σοφία. Ἀγαπᾷ Κύριος ὁσίας καρδίας, δεκτοὶ δὲ αὐτῷ πάντες ἄμωμοι ἐν ὁδῷ. Σοφία Κυρίου φωτιεῖ πρόσωπον συνετοῦ· φθάνει γὰρ τοὺς ἐπιθυμοῦντας αὐτήν, πρὸ τοῦ γνωσθῆναι, καὶ εὐχερῶς θεωρεῖται ὑπὸ τῶν ἀγαπώντων αὐτήν. Ὁ ὀρθρίσας πρὸς αὐτήν, οὐ κοπιάσει· καὶ ὁ ἀγρυπνήσας δι᾽ αὐτήν, ταχέως ἀμέριμνος ἔσται. Ὅτι τοὺς ἀξίους αὐτῆς αὐτὴ περιέρχεται ζητοῦσα, καὶ ἐν ταῖς τρίβοις φαντάζεται αὐτοῖς εὐμενῶς. Σοφίας οὐ κατισχύσει ποτὲ κακία. Διὰ ταῦτα καὶ ἐραστὴς ἐγενόμην τοῦ κάλλους αὐτῆς, καὶ ἐφίλησα ταύτην, καὶ ἐξεζήτησα ἐκ νεότητός μου, καὶ ἐζήτησα νύμφην ἀγαγέσθαι ἐμαυτῷ· ὅτι ὁ πάντων Δεσπότης ἠγάπησεν αὐτήν· μύστης γάρ ἐστι τῆς τοῦ Θεοῦ ἐπιστήμης, καὶ αἱρέτις τῶν ἔργων αὐτοῦ. Οἱ πόνοι αὐτῆς εἰσὶν ἀρεταί· σωφροσύνην δὲ καὶ φρόνησιν αὕτη διδάσκει, δικαιοσύνην καὶ ἀνδρείαν, ὧν χρησιμώτερον οὐδέν ἐστιν ἐν βίῳ ἀνθρώποις. Εἰ δὲ καὶ πολυπειρίαν ποθεῖ τις, οἶδε τὰ ἀρχαῖα καὶ τὰ μέλλοντα εἰκάζειν· ἐπίσταται στροφὰς λόγων καὶ λύσεις αἰνιγμάτων, σημεῖα καὶ τέρατα προγινώσκει καὶ ἐκβάσεις καιρῶν καὶ χρόνων. Καὶ πᾶσι σύμβουλός ἐστιν ἀγαθή· ὅτι ἀθανασία ἐστὶν ἐν αὐτῇ καὶ εὔκλεια ἐν κοινωνίᾳ λόγων αὐτῆς. Διὰ τοῦτο ἐνέτυχον τῷ Κυρίῳ καὶ ἐδεήθην αὐτοῦ καὶ εἶπον ἐξ ὅλης μου τῆς καρδίας· Θεὲ Πατέρων καὶ Κύριε τοῦ ἐλέους, ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ σου καὶ τῇ σοφίᾳ σου κατασκευάσας τὸν ἄνθρωπον, ἵνα δεσπόζῃ τῶν ὑπὸ σοῦ γενομένων κτισμάτων καὶ διέπῃ τὸν κόσμον ἐν ὁσιότητι καὶ δικαιοσύνῃ, δός μοι τὴν τῶν σῶν θρόνων πάρεδρον σοφίαν καὶ μή με ἀποδοκιμάσῃς ἐκ παίδων σου· ὅτι ἐγὼ δοῦλος σὸς καὶ υἱὸς τῆς παιδίσκης σου. Ἐξαπόστειλον αὐτὴν ἐξ ἁγίου κατοικητηρίου σου καὶ ἀπὸ θρόνου δόξης σου· ἵνα συμπαροῦσά μοι διδάξῃ με τί εὐάρεστόν ἐστι παρὰ σοί· καὶ ὁδηγήσῃ με ἐν γνώσει καὶ φυλάξῃ με ἐν τῇ δόξῃ αὐτῆς. Λογισμοὶ γὰρ θνητῶν πάντες δειλοί, καὶ ἐπισφαλεῖς αἱ ἐπίνοιαι αὐτῶν.

www.tezaurliturgic.ro

Εἰς τὴν Λιτὴν Ἰδιόμελα.

Ἦχος α΄.

Εὐφραίνου ἐν Κυρίῳ, Μάξιμε μακάριε, ἀπολαβὼν ἐν οὐρανοῖς, τῶν καμάτων σου τὰ γέρα· σκίρτα οὖν τὸ μακάριον σκίρτημα, καὶ τέρπου ἐν Πνεύματι, τῶν ἐλπιζομένων ἀπολαύσεων, γεγονὼς ἐν μετουσίᾳ· σὺ γὰρ τὴν νοητὴν περιζωσάμενος ῥομφαίαν, οὐ μόνον τῶν ἀοράτων ἐχθρῶν διέκοψας τὰς φάλαγγας, ἀλλὰ καὶ τῆς ἐκφύλου αἱρέσεως, τὰς ἀρχὰς κατέτρωσας· καὶ μυρίους πόνους ὑπὲρ τῆς Ἐκκλησίας ὑποστάς, τὴν καλὴν ὁμολογίαν, ἄτρωτον διέσωσας, ἀθλητικῶς ἀγωνισάμενος. Ἀλλ᾽ ὡς ἔχων παρρησίαν πρὸς Χριστόν, πρέσβευε δεόμεθα, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Ἦχος β΄.

Τῶν ἀρετῶν τοὺς καρποὺς γεωργήσας, τῇ ἀληθεῖ μυσταγωγίᾳ αὐτῶν, τὸν νοῦν ἡμῶν τρέφεις Ὅσιε· οὐ γὰρ ἔκρυψας μακάριε, τὸ δοθέν σοι τάλαντον, ἀλλὰ πλουσίως διένειμας, τοῖς αἰτοῦσι τὴν χάριν· διὸ καὶ ἠξίωσαι, τῆς χαρᾶς τοῦ Κυρίου σου.

Ἦχος γ΄.

Τὸν ἐν σοφίᾳ περίβλεπτον, καὶ ἐν θείοις δόγμασι περιφανῆ, Μάξιμον τὸν μέγαν ᾀσματικῶς ὑμνήσωμεν· ἔξω κόσμου γὰρ πολιτευσάμενος, ἀκηλίδωτον ἔσοπτρον, τῶν μυστικῶν ἐμφάσεων γέγονε, τὰς ἐνεργείας τῆς χάριτος, καὶ τὰς θεαρχικὰς ἐλλάμψεις, πᾶσι δηλοποιῶν· καὶ τὸν λόγον τῆς ἀληθείας ὀρθοτομῶν, ὁμολογίας πόνοις ὡμίλησεν, αἱρετικῶν μὲν διελέγχων τὴν πλάνην, τῶν δὲ πιστῶν τὰς καρδίας στηρίζων, ὡς πιστὸς οἰκονόμος τῆς χάριτος.

Ἦχος δ΄.

Ἐμβάψας τὸν νοῦν, ἐν τῇ ἐκφάνσει τῆς θείας ἀγλαΐας, ἐν τῇ ψυχῇ ἀπηκριβώσω τοῦ θείου κάλλους τοὺς χαρακτῆρας. Μακάριος

σὺ εἶ, παμμακάριστε Μάξιμε, ὅτι ὑπὲρ δικαιοσύνης καὶ ἀληθείας, ποικίλως ἐδοκιμάσθης, ὡς χρυσὸς ἐν καμίνῳ· καὶ θαυμαστῶς δοξασθείς, τοῦ Παρακλήτου τῇ δωρεᾷ, τὰ σὰ θεοπαράδοτα ῥήματα, ὡς πλοῦτον ζωῆς καὶ μάννα οὐράνιον, τῇ Ἐκκλησίᾳ κατέλιπες· ἠθῶν γὰρ εὐκοσμίαν, καὶ Ὀρθοδοξίας ἀκρίβειαν δι' αὐτῶν μυσταγωγεῖται, χρεωστικῶς ἑορτάζουσα, τὴν ἁγίαν μνήμην σου.

Δόξα. Ἦχος πλ. α΄.

Τῶν εὐαγῶν ἀγώνων σου, αἱ θεαυγεῖς ἀρεταί, τὴν Ἐκκλησίαν ἐφαίδρυναν, Πάτερ Ὅσιε· στῦλος γὰρ καὶ ἑδραίωμα ταύτης ἐδείχθης, ὑπὲρ τῆς ἀληθείας τὴν ψυχήν σου θέμενος. Τίς σου τῶν δογμάτων τῇ σοφίᾳ οὐ λαμπρύνεται; ἢ τίς τῶν παλαισμάτων, οὐ βεβαιοῦται τῇ ἀνδρείᾳ; Ἀλλ' ὦ Μάξιμε πανθαύμαστε, τῷ Ὑπερθέῳ Λόγῳ παριστάμενος, ἀπαύστως δυσώπει, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν, καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

Εἰς τὸν Στίχον Στιχηρὰ Προσόμοια

Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις θεολογίας κανών, ὁ τῶν ἀρρήτων μυστογράφος πανάριστος, Τριάδος τῆς Ὑπερθέου, ὁ ὑπογράψας ὀρθῶς, τὸ γνωστὸν τῇ κτίσει καὶ τὸ ἄγνωστον· γνωστὸν τὰ προσόντα μέν, καὶ τὴν θείαν ἐνέργειαν, θεολογήσας, τὴν οὐσίαν δὲ ἄγνωστον, καὶ ἀνώνυμον, ἐξειπὼν καὶ ἀμέθεκτον· μίαν φύσιν θεότητος, τρισὶν ὑποστάσεσι, Πατέρα Λόγον καὶ Πνεῦμα, ὁμοβασίλειον δύναμιν, τὸν πάντων Δεσπότην, θεηγόρως δογματίζων, Μάξιμε Ὅσιε.

www.tezaurliturgic.ro

Στίχ. Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

Χαίροις ὑφηγητὴς ἱερός, καὶ ὑποφήτης ἀληθῶς θεοφόρητος, τῆς θείας οἰκονομίας, τοῦ μέχρι δούλου μορφῆς, πλούτῳ εὐσπλαγχνίας ὁμιλήσαντος· διπλοῦν γὰρ ταῖς φύσεσι, καὶ θελήσεσιν Ὅσιε, καὶ ἐνεργείαις, ἕνα ὄντα ἐκήρυξας, τὸν τὸ φύραμα, τοῦ Ἀδὰμ ἐνδυσάμενον· ὅθεν καὶ κατεβρόντησας, τοὺς κρᾶσιν παράδοξον, ταῖς συνελθούσαις οὐσίαις, κατατολμῶντας καὶ σύγχυσιν, ἀπαύστως πρεσβεύων, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Χαίροις ὁ τῆς σοφίας κρουνός, ὁ πελαγίζων θεοβρύτως τοῖς πέρασιν, ὡς ὕδωρ ἀθανασίας, καὶ γλυκασμὸν νοητόν, ἀρετῶν ἐνθέων νᾶμα ἥδιστον· Ὁσίων ὡραΐσμα, Ἀθλητῶν ἰσοστάσιος· τούτων γὰρ ὤφθης, μιμητὴς ἀκριβέστατος, τοῦ Δεσπότου σου, περιφέρων τὰ στίγματα· σὺ γὰρ ἀνδρείως ἤνεγκας, τῆς γλώττης τὴν ἔκσπασιν, καὶ τὴν τομὴν τῆς χειρός σου, καὶ ἐξορίας τὴν κάκωσιν· διὸ καὶ πλουσίως, θεοφόρε ἐδοξάσθης, παρὰ τοῦ Κτίστου σου.

Δόξα. Ἦχος δ΄.

Ὁμολογίαν τὸν βίον ποιούμενος, τὴν καλὴν παρακαταθήκην, τῇ Ἐκκλησίᾳ ἄσυλον διέσωσας, Ὅσιε Πάτερ· ἐν κόποις γὰρ περισσοτέρως διάγων, οὐκ ἐπαύσω στηρίζων τοῖς θεοφθόγγοις σου ῥήμασι, τὰς διανοίας τῶν πιστῶν. Καὶ νῦν τὸν μακάριον ἀνύσας ἆθλον, τὸν ἀμαράντινον ἀνεδύσω στέφανον, Χριστὸν ὁρῶν καὶ ὁρώμενος, Μάξιμε πολύσοφε.

Καὶ νῦν. Θεοτοκίον.

Νεῦσον παρακλήσεσι σῶν οἰκετῶν πανάμωμε, παύουσα δεινῶν ἡμῶν ἐπαναστάσεις, πάσης θλίψεως ἡμᾶς ἀπαλλάττουσα· σὲ

www.tezaurliturgic.ro

γὰρ μόνην ἀσφαλῆ, καὶ βεβαίαν ἄγκυραν ἔχομεν, καὶ τὴν σὴν προστασίαν κεκτήμεθα. Μὴ αἰσχυνθῶμεν Δέσποινα, σὲ προσκαλούμενοι· σπεῦσον εἰς ἱκεσίαν τῶν σοὶ πιστῶς βοώντων· Χαῖρε Δέσποινα, ἡ πάντων βοήθεια, χαρὰ καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Νῦν ἀπολύεις, τὸ Τρισάγιον καὶ τὰ Ἀπολυτίκια.

Ἦχος πλ. δ΄.

Ὀρθοδοξίας Ὁδηγέ, εὐσεβείας Διδάσκαλε καὶ σεμνότητος, τῆς Ἐκκλησίας ὁ φωστήρ, τῶν Μοναζόντων θεόπνευστον ἐγκαλλώπισμα, Μάξιμε σοφέ, ταῖς διδαχαῖς σου πάντας ἐφώτισας, λύρα τοῦ Πνεύματος. Πρέσβευε Χριστῷ τῷ Θεῷ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Ἕτερον.

Δόξα. Ἦχος γ΄. Θείας πίστεως.

Θείου Πνεύματος τῇ ἐπομβρίᾳ, ῥεῖθρα ἔβλυσας, τῇ Ἐκκλησίᾳ, ὑπερκοσμίων δογμάτων πανεύφημε· θεολογῶν δὲ τοῦ Λόγου τὴν κένωσιν, ὁμολογίας ἀγῶσι διέλαμψας. Πάτερ Μάξιμε Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

Καὶ νῦν. Θεοτοκίον.

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν, τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

Ἀπόλυσις.

www.tezaurliturgic.ro

# ΕΝ ΤΩ ΟΡΘΡΩ

Μετὰ τὴν α΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος α΄. Τὸν Τάφον σου Σωτήρ.

Ὡς ἔαρ μυστικόν, ἐν καιρῷ τοῦ χειμῶνος, ἡ μνήμη σου σοφέ, ἡ ἁγία ἐπέστη, τὸν κόσμον κατευφραίνουσα, τοῖς τῶν πόνων σου ἄνθεσι, καὶ μυρίζουσα, τὰς τῶν πιστῶν διανοίας, τῇ τῶν λόγων σου, μυρεψικῇ εὐωδίᾳ, τρισόλβιε Μάξιμε.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Ὁ πλοῦτος ὁ καινός, τῆς ἀρρήτου σοφίας, ὁ μέγας θησαυρός, τῶν φρικτῶν μυστηρίων, ἡ πρύτανις καὶ πάροχος, τῶν σεπτῶν διαδόσεων, τὸ μεθόριον, Θεοῦ ὁμοῦ καὶ ἀνθρώπων, ἀνυμνείσθω μοι, ἡ Θεοτόκος Μαρία, βροτῶν τὸ διάσωσμα.

Μετὰ τὴν β΄ Στιχολογίαν, Κάθισμα.

Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Κατεπλήττοντο σοφέ, οἱ θεωροῦντες τὸ ἐν σοί, ἐνεργούμενον φρικτῶς, δι' ἐνεργείας θεϊκῆς, ὅτι τὴν γλῶτταν ἀποσπασθεὶς ἀπανθρώπως, ἐλάλεις καθαρῶς, ὥσπερ τὸ πρότερον, εἰς πίστωσιν σαφῆ,

www.tezaurliturgic.ro

τῶν λαλουμένων σοι· ὁ γὰρ Χριστὸς ὃν ἱερῶς ἐθεολόγεις, ἐν σοὶ τὰ ξένα εἰργάσατο. Αὐτὸν δυσώπει, Μάξιμε Πάτερ, ὑπὲρ τῶν πίστει τιμώντων σε.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Μεγαλύνω εὐσεβῶς, τά μεγαλεῖά σου Ἁγνή, ὅτι τέτοκας ἡμῖν, τὸν πρὸ αἰώνων Ποιητήν, ἀνερμηνεύτως ἐκ τῶν ἁγνῶν σου αἱμάτων, λύτρωσιν ἡμῖν, φθορᾶς παρέχοντα, νέαν δὲ ζωήν, κόσμῳ βραβεύοντα, ἐν ᾗ κἀμὲ κυβέρνησον Δέσποινα, ἐπισκοπῇ ἀοράτῳ σου, ὡς ἂν ἀπαύστως, ἐν ἀπαθείᾳ, ὑμνολογῶ σε πολυύμνητε.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα.

Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Τὴν σοφίαν τὴν ἄνωθεν μυηθείς, καὶ τῶν λόγων τὴν χάριν ἐκπαιδευθείς, σαφῶς ἀνεκήρυξας εὐσεβείας τὰ δόγματα, καὶ τῶν αἱρετιζόντων, τὴν πλάνην διήλεγξας, ἀμέμπτου πολιτείας, ἐκφαίνων τὰς χάριτας· ὅθεν καὶ Μαρτύρων, διανύων τοὺς ἄθλους, τὴν χεῖρά σου τέτμησαι, καὶ τὴν γλῶττάν σου ἔσπασαι, ἀπηνέστατα Μάξιμε· Πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Τὸ κατάσκιον ὄρος καὶ ἐμφανές, τὴν χρυσήλατον πύλην τὴν λογικήν, τὸ ἅρμα τὸ πάγχρυσον, τὸν ναὸν τὸν περίοπτον, τὸν φωτοφόρον θρόνον, τὴν πόλιν τὴν ἔμψυχον, τοῦ πάντων Βασιλέως, ὑμνήσωμεν λέγοντες· χαῖρε Θεοτόκε, Προφητῶν ἡ διόπτρα, θεότευκτον ἄγαλμα, ἀρχικῆς ὡραιότητος, τῶν βροτῶν ἱλαστήριον. Πρέσβευε τῷ σῷ Υἱῷ καὶ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς προσκυνοῦσι Παρθένε, τὸν ἄφραστον τόκον σου.

www.tezaurliturgic.ro

Τὸ α΄ Ἀντίφωνον τοῦ δ΄ ἦχου καὶ τὸ Προκείμενον. Ἦχος δ΄.

Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

Στίχ. Στόμα δικαίου μελετήσει σοφίαν, καὶ ἡ γλῶσσα αὐτοῦ λαλήσει κρίσιν.

Εὐαγγέλιον κατὰ Ματθαῖον,
ζήτει αὐτὸ τῇ ι΄ Ἰανουαρίου.

Τῷ καιρῷ ἐκείνῳ ἠκολούθησαν τῷ Ἰησοῦ ὄχλοι πολλοί....

(Ματθ. δ΄ 25 - ε΄ 12)

Ὁ Ν΄. Δόξα. Ταῖς τοῦ σοῦ Ὁσίου...

Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...

Ἰδιόμελον. Ἦχος πλ. β΄.

Στίχ. Ἐλέησόν με, ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου...

Μάξιμε μακάριε, σὺ δι᾽ ἔργων ἐναρέτων, ἀνακαθάρας τὸν νοῦν, εὐπρεπὲς γέγονας, τῆς θεολογίας ὄργανον· σὺ καὶ διὰ τῆς ἐν Πνεύματι θεωρίας, ἰδεῖν καὶ γνῶναι, ἐν τῷ μὴ ἰδεῖν μηδὲ γνῶναι, τῇ ὑπερβολῇ τῆς φωτοχυσίας, τὰ ὑπὲρ νόησιν ἠξίωσαι. Καὶ νῦν αὐτοπροσώπως, τὰ τελεώτατα ὁρῶν, καταύγασον καὶ ἡμᾶς τῷ φωτὶ τῆς γνώσεως, ταῖς πρὸς Θεὸν πρεσβείαις σου.

Ὁ Ἱερεύς· Σῶσον, ὁ Θεός, τὸν λαόν σου...

Εἶτα οἱ Κανόνες, τῆς Θεοτόκου, τοῦ Ἁγίου ἐκ τοῦ Μηναίου,
καὶ ὁ ἑξῆς, οὗ ἡ Ἀκροστιχίς·

«Μάξιμον ὑμνῶ τὴν θεηγόρον γλῶτταν. Γερασίμου».

www.tezaurliturgic.ro

Ὠδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.

Μονὰς τρισυπόστατε, Πάτερ Υἱὲ Πνεῦμα Ἅγιον, Τριὰς Ὑπερούσιε, τῶν ἀγαθῶν ἡ πηγή, φῶς παράσχου μοι, ὡς ἂν φαιδρῶς ὑμνήσω, τὸν σὲ μεγαλύναντα, Ὅσιον Μάξιμον.

Ἀφ᾽ ὕψους τοῦ Πνεύματος, ἡ ζωηφόρος ἐπίπνοια, ὡς φῶς ἐναστράψασα, τῇ καθαρᾷ σου ψυχῇ, θεηγόρον σε, ἀνέδειξε φωστῆρα, καὶ θεῖον ἐκφάντορα, Ἅγιε Μάξιμε.

Ξενώσας μακάριε τῆς κοσμικῆς ματαιότητος, καὶ νοῦν καὶ διάνοιαν, Χριστοῦ τοῖς ἴχνεσιν, ἠκολούθησας, ἀγγελικὴν ἐν κόσμῳ, ζωὴν προελόμενος, ἐνθέῳ ἔρωτι.

Ἰθύνας τὸν βίον σου, ἐν ἀληθεῖ ὁσιότητι, σοφίας ἀνέδραμες, πρὸς τὴν ἀκρόπολιν, καὶ τοῦ Πνεύματος, τὴν χάριν δεδεγμένος, δογμάτων ὀρθότητος, ὄργανον πέφηνας.

Θεοτοκίον.

Μὴ φλέξας τὴν μήτραν σου, ὁ πῦρ καὶ φῶς πέλων Κύριος, διπλοῦς προελήλυθεν, ἐκ τῆς γαστρός σου Ἁγνή· ὃν ἱκέτευε, φωτίσαι τὴν ψυχήν μου, τυφλώττουσαν πάθεσι, φθόνῳ τοῦ ὄφεως.

Ὠδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.

Ὁ Λόγος σοι λόγον καὶ σοφίαν, πλουσίως δεδώρηται σοφέ, δι᾽ οὗ σοφίαν ἄσοφον, δογμάτων ἀποδείξεσιν, αἱρετικῶν διέλυσας, θεολογῶν θείῳ Πνεύματι.

Ναμάτων πλησθεὶς ζωοδωρήτων, καθάρας τὸν νοῦν καὶ τὴν ψυχήν, ἐκ τῶν πηγῶν τοῦ Πνεύματος, τὸ ὕδωρ τὸ ἁλλόμενον, βλυστάνεις ἐν τοῖς πέρασιν, ἐκ τῶν χειλέων σου Ὅσιε.

Ὑφ᾽ ἓν τοὺς συγχέοντας ἀβούλως, τὰς δύο οὐσίας ἐν Χριστῷ, καὶ ἐνεργείας Μάξιμε, ἐλέγχων διετέλεσας, Ὀρθοδοξίας ἔρεισμα, καὶ προμαχὼν ἐνδεικνύμενος.

www.tezaurliturgic.ro

Μία μὲν ὑπόστασις ὁ Λόγος, ὁ ὢν ἐν μορφῇ τῇ τοῦ Πατρός, καὶ γεννηθεὶς ὡς ἄνθρωπος, γνωρίζεται ὁ ἄναρχος, δυσὶ τελείαις φύσεσιν, ὁμολογεῖς ὀρθῶς Ὅσιε.

Θεοτοκίον.

Νεκρόν με εἰργάσατο ἡ γεῦσις, παθῶν πικροτάτων μοχθηρῶν, γνώμῃ τῇ νηπιόφρονι, σὺ δὲ ζωὴν κυήσασα, ἀνάστησόν με Ἄχραντε, καὶ πρὸς μετάνοιαν ἴθυνον.

Κάθισμα. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.

Διωγμοὺς ὑπομείνας ὑπὲρ τῆς πίστεως, ἀπεδίωξας Πάτερ ἅπασαν αἵρεσιν· ἐκτμηθεὶς δὲ σὺν χειρὶ τὴν γλῶτταν Μάξιμε, ὁμολογίας εὐπρεπῆ, ἐκ τῆς χειρὸς τοῦ Ποιητοῦ, ἐδέξω στέφανον μάκαρ· ὃν νῦν ἀπαύστως δυσώπει, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Δόξα. Καὶ νῦν. Θεοτοκίον.

Ἀπειρόγαμε νύμφη θεογεννήτρια, ἡ τῆς Εὔας τὴν λύπην χαροποιήσασα, ἀνυμνοῦμεν οἱ πιστοὶ καὶ προσκυνοῦμέν σε, ὅτι ἀνήγαγες ἡμᾶς, ἐκ τῆς ἀρχαίας ἀρᾶς· καὶ νῦν δυσώπει ἀπαύστως, πανύμνητε Παναγία, εἰς τὸ σωθῆναι ἡμᾶς.

Ὠδὴ δ΄. Τὴν ἀνεξιχνίαστον.

Ὤφθης ἀκαθαίρετος καὶ ἀκλινής, τῆς ὑπερορίας τὴν κάκωσιν, κρίσει ἀδίκῳ, ἐνεγκὼν καρτερικῶς, καὶ τῷ ἐνδυναμοῦντί σε, δόξα τῇ δυνάμει σου ἔψαλλες.

Τὸν σεσαρκωμένον Λόγον Θεοῦ, ἐν δυσὶν οὐσίαις καὶ φύσεσι, καὶ ἐνεργείαις, ἀνεκήρυξας λαμπρῶς, καὶ ᾔσχυνας τοῖς λόγοις σου, μονοφυσιτῶν φληναφήματα.

Ἤθλησαν φρονήματι καρτερικῷ, σὺν σοὶ ὥσπερ παῖδες ὑπήκοοι, τῶν φοιτητῶν σου, ἡ θεόφρων ξυνωρίς· τούτους γὰρ ἐξεπαίδευσας, Μάξιμε τοῖς νόμοις τῆς χάριτος.

www.tezaurliturgic.ro

Νοῦν τὸν πάντων αἴτιον θεολογῶν, ἅμα σὺν τῷ Λόγῳ καὶ Πνεύματι, μίαν οὐσίαν, χαρακτῆρσιν ἐν τρισί, Τριάδα τὴν Ὑπέρθεον, Πάτερ Ὀρθοδόξως ἐκήρυξας.

Θεοτοκίον.

Θρόνον ὑψηλότατον φωτοειδῆ, καὶ ναὸν Θεοῦ φωτοστόλιστον, ἐπεγνωκώς σε, θεοχώρητε σκηνή, αἰτοῦμαι φωτισθῆναί με, τῇ σωτηριώδει ἐλλάμψει σου.

Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.

Εἰς Ῥώμην ἀνέδραμες, ὡς ἄλλος τις Ἀπόστολος, ῥώμην θεϊκὴν ἐνδεδυμένος, καὶ μονοθέλητον πλάνην ἤλεγξας, ἐν σοφίᾳ Πάτερ ἀληθεῖ, Μάξιμε μακάριε, εὐσεβείας ὑπέρμαχε.

Ἡ γλῶσσά σου κάλαμος, ἐδείχθη θείου Πνεύματος, πᾶσιν εὐσεβῶς καλλιγραφοῦσα, θείων δογμάτων Πάτερ ἀκρίβειαν, καὶ θεολογίας μυστικῆς, Μάξιμε τὴν ἔλλαμψιν, καὶ ζωῆς καθαρότητα.

Γενναίως ἠγώνισαι, ὑπὲρ τῆς θείας Πίστεως, μονοφυσιτῶν ἐρεσχελείας, καταπαλαίσας λόγῳ τῆς χάριτος, Μάξιμε Ὁσίων καλλονή, καὶ στερρῶς ὑπέμεινας, ἐξορίας τὴν κάκωσιν.

Ὁ νοῦς ὁ οὐράνιος, τὸ στόμα τὸ θεόσοφον, τῆς μετὰ σαρκὸς οἰκονομίας, τοῦ Θεοῦ Λόγου ὁ μέγας Μάξιμος, χεῖρα καὶ τὴν γλῶτταν ἐκκοπείς, φθέγγεται σοφώτατα, ἀληθείας τὴν δύναμιν.

Θεοτοκίον.

Ῥημάτων περαίωσις, Προφητοφθέγκτων πέφηνας, ἐξ ἁγνῶν αἱμάτων σου τεκοῦσα, τὸν ἐν τῷ νόμῳ προκηρυχθέντα τὸ πρίν, τύποις καὶ συμβόλοις καὶ σκιαῖς, μόνη Παντευλόγητε, τοῦ Ἀδὰμ ἀνακαίνισις.

www.tezaurliturgic.ro

Ὠδὴ στ΄. Τὴν θείαν ταύτην.

Ὁμολογίας τὴν σάλπιγγα, τὸ εὔσημον τοῦ Πνεύματος ὄργανον, τὸν μέγαν Μάξιμον, ὡς τῆς σοφίας τῆς κρείττονος, τὴν θεηγόρον γλῶτταν, ὕμνοις τιμήσωμεν.

Ναμάτων θείων πληρούμενος, ὡς ἄλλη ἐξ Ἐδὲμ κρήνη πέφηνας, κόσμῳ πηγάζουσα, τὸν ποταμὸν τὸν τῆς χάριτος, Μάξιμε τὰς καρδίας, ἡμῶν ἀρδεύοντα.

Γνώσει τῇ θείᾳ λαμπόμενος, λαμπρὸς κρυφιομύστης τῆς χάριτος, ἐδείχθης Μάξιμε, μυσταγωγῶν θείοις ῥήμασι, πρὸς κτῆσιν τῶν ἀρίστων, τοὺς σὲ γεραίροντας.

Θεοτοκίον.

Λύτρωσιν εὗρε αἰώνιον, θανάτου καταδίκης θεόνυμφε, γένος ἀνθρώπινον, τῇ ὑπὲρ λόγον κυήσει σου, εὐλογημένη Κόρη, βροτῶν διάσωσμα.

Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ.

Ὡς τῆς Τριάδος ἐραστὴς καὶ μύστης ἔνθεος
Ὀρθοδοξίας ἐκδιδάσκεις τὴν ἀκρίβειαν
Διὰ λόγου τε καὶ βίου ἠκριβωμένου·
Τὸν Χριστὸν γὰρ ἐν δυσὶ τελείαις φύσεσιν
Ἐνεργείαις καὶ θελήσεσιν ἐκήρυξας
Τοῖς βοῶσί σοι· Χαίροις Μέγιστε Μάξιμε.

Ὁ Οἶκος.

»Ἄνοιξόν μου τὰ χείλη, ὁ Θεὸς ὁ Σωτήρ μου, καὶ δός μοι θείαν χάριν ἑλκύσαι, τοῦ ἀξίως ὑμνῆσαι Χριστέ, τὸν κηρύξαντά σε ἐν δυσὶ φύσεσιν, ἐξόχως ὑπὲρ ἅπαντας· πρὸς ὃν καὶ ἐκφωνῶ τοιαῦτα·

www.tezaurliturgic.ro

Χαῖρε, δι' οὗ ἡ Τριὰς ἐκλάμπει·
 Χαῖρε, δι' οὗ ἡ Μονὰς αὐγάζει·
Χαῖρε, τῆς σοφίας φωστὴρ οὐρανόφωτος·
 Χαῖρε, τῆς εἰκόνος τοῦ Λόγου ὁμότροπος·
Χαῖρε, ὕψος τὸ περίοπτον νοημάτων ἱερῶν·
 Χαῖρε, βάθος τὸ πολύσοφον τῶν δογμάτων τῶν σεπτῶν·
Χαῖρε, ὅτι καθεῖλες τῶν αἱρέσεων θράση·
 Χαῖρε, ὅτι προθύμως πρὸς Χριστὸν μέλη τέμνῃ·
Χαῖρε, κλεινῶν Ὁσίων ἀγλάϊσμα·
 Χαῖρε, στερρῶν Μαρτύρων ὡράϊσμα·
Χαῖρε, κρηπὶς εὐσεβείας καὶ φαῦσις·
 Χαῖρε, στολὴ Ἐκκλησίας καὶ βάσις·
 Χαίροις, Μέγιστε Μάξιμε.

Συναξάριον.

Τῇ κα΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Μαξίμου τοῦ Ὁμολογητοῦ.

Στίχοι.

Ἄχειρ, ἄγλωττος, χεῖρα καὶ γλῶτταν φύεις,
Καὶ χερσὶ Θεοῦ, Μάξιμε, ψυχὴν δίδως.
Εἰκάδι πρώτῃ πότμος Μαξίμου ὅσ' ἐκάλυψεν.

Οὗτος ἦν κατὰ τοὺς χρόνους τοῦ δυσσεβοῦς Κώνσταντος, ἀπογόνου Ἡρακλείου. Ταῖς μεγίσταις οὖν τιμαῖς ὑπὸ τῶν πρῴην Βασιλέων δεξιωθείς, καὶ ἱκανὸς ὢν ἐν ταῖς πολιτικαῖς διοικήσεσι τὰ πρακτέα ὑφηγεῖσθαι, διὰ λόγων καὶ τρόπων καὶ τὴν ἀπὸ τοῦ χρόνου σύνεσιν εἰς τὸ τοῦ πρωτασηκρῆτις προεβιβάσθη ἀξίωμα καὶ βουλῆς τοῖς βασιλεῦσι γέγονε κοινωνός.

www.tezaurliturgic.ro

Ἐπεὶ δὲ ἡ πονηρὰ καὶ ἔκφυλος δόξα τῶν μίαν θέλησιν φρονούντων ἐπὶ τῆς διὰ σαρκὸς τοῦ Χριστοῦ οἰκονομίας ἀνοήτως καὶ δυσσεβῶς ἐπεκράτει, ὅσον ἐπ' αὐτοῖς τὴν μίαν τῶν δύο φύσεων ἀναιρούντων καὶ διατάγματά τινα τὴν κακοδοξίαν κρατύνοντα, κατὰ τὴν ἀγορὰν ἐπόμπευε, καὶ ἐπὶ τῆς Μεγάλης προὔκειτο Ἐκκλησίας, οὐκ ἀνασχόμενος τῇ τῶν ἀσεβῶν κοινωνίᾳ συνασεβεῖν, ἀφεὶς τὰς κοσμικὰς ἀρχάς, εἵλετο μᾶλλον ἐν τῷ οἴκῳ τοῦ Θεοῦ παρερρῖφθαι ἢ ἐν σκηνώμασιν ἁμαρτωλῶν κατοικεῖν. Καὶ καταλαβὼν τὸ ἐν Χρυσουπόλει Μοναστήριον, τὴν κόμην ἀπέθετο, οὗ καὶ καθηγητὴς ὕστερον γέγονεν. Εἶτα θείῳ ζήλῳ, ὥσπερ ὑπὸ πυρὸς ἐξαφθείς, τὴν πρεσβυτέραν Ῥώμην κατέλαβε, καὶ Πάπαν τὸν μακαριώτατον Μαρτῖνον τοπικὴν συναθροῖσαι σύνοδον καὶ ἀναθεματίσαι τοὺς ἀρχηγοὺς τοῦ δυσσεβοῦς δόγματος τῶν μίαν ἐπὶ Χριστοῦ θέλησιν ληρωδούντων, παρέπεισεν. Ἀλλὰ καὶ εἰς ἔλεγχον τῶν οὕτω φρονούντων, λόγους γράψας καὶ ἐπιστολάς, λογικαῖς ἀποδείξεσι καὶ γραφικαῖς, τῆς καθ' ἡμᾶς πίστεως τὴν ἀκρίβειαν βεβαιούσας, συνθείς, πανταχοῦ τῆς οἰκουμένης ἐξέπεμψεν.

Ἀναζεύξας δὲ ἀπὸ Ῥώμης μετὰ τῶν δύο Ἀναστασίων τῶν μαθητῶν αὐτοῦ εἰς εὐθύνας παρὰ τῆς Συγκλήτου καθίσταται, ὁμοδοξούσης τῇ τοῦ Βασιλέως αἱρέσει. Καὶ πάντων ὑπεικόντων τῷ Βασιλεῖ αὐτός τε ἀνθίσταται καὶ τοὺς ἄλλους εἰς ἀποστασίαν κινεῖ, ἐναντία δὲ τῶν ἐπιστολῶν φρονεῖν μεταπείθων αὐτούς. Ἐπεὶ τούτῳ πέμπεται ἐν φρουρᾷ κατὰ τὴν Θρᾴκην. Καὶ ἐπιμένων τῇ Ὀρθοδόξῳ πίστει, τὴν χεῖρα καὶ τὴν γλῶτταν ἀκρωτηριάζεται. Κἀκεῖθεν εἰς ὑπερορίαν κατὰ τὴν Λαζικὴν πέμπεται. Ἔνθα ἐπὶ τρισὶ χρόνοις διαγαγὼν καὶ ταῖς οἰκείαις τοῦ σώματος χρείαις αὐτὸς ὑπηρετησάμενος καὶ πλήρης ὢν ἡμερῶν, μικρὸν νοσήσας ἀνεπαύσατο ἐν Κυρίῳ καὶ κατετέθη ἐν τῇ Μονῇ τοῦ Ἁγίου Ἀρσενίου ἐν αὐτῇ τῇ χώρᾳ τῶν Λαζῶν, πολλὰς θαυμάτων ἐνεργείας καθ' ἑκάστην ποιῶν.

Λέγεται δὲ μετὰ τὴν ἐκτομὴν αὖθις ὑπὸ Θεοῦ παραδόξως ἀποκαταστῆναι τὴν γλῶτταν καὶ τρανῶς φθέγγεσθαι, μέχρις ἂν ἐν βίῳ

www.tezaurliturgic.ro

ὑπῆρχε. Τῶν δὲ δύο αὐτοῦ μαθητῶν, ὁ μὲν πρεσβύτερος Ἀναστάσιος ἴσα τῷ διδασκάλῳ τὴν γλῶτταν καὶ τὴν χεῖρα τμηθεὶς μακρὰν ἐξωρίσθη· ὁ δὲ νεώτερος Ἀναστάσιος ἔν τινι τῶν κατὰ Θρᾴκη φρουρίων πεμφθεὶς τὸν βίον κατέλυσε.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ἁγίου Μάρτυρος Νεοφύτου.

Στίχ. Τὸν Νεόφυτον ἐκριζοῖ γῆθεν δόρυ,
Νέου φυτοῦ κάλλιστον οἷά περ θάλος.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Ζωσίμου, Ἐπισκόπου Συρακούσης, Σικελῶν νήσου.

Στίχ. Μετάστασιν Ζώσιμος εὗρεν ἐκ βίου,
Ὧ καὶ πρὸ ταύτης πᾶς μετάστασις βίος.

Τῇ αὐτῇ ἡμέρᾳ, ἄθλησις τῶν Ἁγίων Μαρτύρων Εὐγενίου, Οὐαλλεριανοῦ, Κανδίδου καὶ Ἀκύλα.

Στίχ. Τὸν Εὐγένιον, καὶ συνάθλους τρεῖς ἅμα,
Δι᾽ εὐγένειαν ψυχικὴν κτείνει ξίφος.

Τῇ αὐτῇ ἡμέρᾳ, ἡ Σύναξις τῆς Ἁγίας Εἰρήνης, ἐν τῇ ἁγιωτάτῃ Ἐκκλησίᾳ τῇ οὔσῃ πρὸς θάλασσαν.

Στίχ. Εἰρήνην πρυτάνευσον, Μάρτυς Εἰρήνη,
Ἡμῖν εὐφημοῦσί σε ἐν τῷ ναῷ σου.

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τῆς Ἁγίας Μάρτυρος Ἁγνῆς.

Στίχ. Ὑπὲρ νέον σοι μόσχον, ὡς Δαυῒδ λέγει,
Ἤρεσκεν Ἁγνὴ πυρπολουμένη, Λόγε.

Τῇ αὐτῇ ἡμέρᾳ, οἱ Ἅγιοι Τέσσαρες Μάρτυρες οἱ ἐν Τύρῳ, ξίφει τελειοῦνται.

www.tezaurliturgic.ro

Στίχ. Στερρῶν Ἀθλητῶν τεσσάρων φωνὴ μία·
Ἡμῖν τὸ θνῄσκειν ἐκ ξίφους εὐθυμία.

Τῇ αὐτῇ ἡμέρᾳ, ὁ Ὅσιος Νεόφυτος, ὁ προσμονάριος τῆς Μονῆς Βατοπεδίου, ὁ ἀκούσας τῆς φωνῆς τῆς Θεοτόκου, προελθούσης ἐκ τοῦ στόματος τῆς ἁγίας Αὐτῆς εἰκόνος, ἐν εἰρήνῃ τελειοῦται.

Στίχ. Ὁ Νεόφυτος Παρθένου πέλων φίλος,
Φωνὴν ἀκούει τῆς δε. Ὢ θαῦμα ξένον!

Τῇ αὐτῇ ἡμέρᾳ, μνήμη τοῦ Ὁσίου Πατρὸς ἡμῶν Μαξίμου τοῦ Γραικοῦ καὶ Φωτιστοῦ τῶν Ῥώσων.

Στίχ. Φῶς μέγα ὁ Μάξιμος ἐνθέῳ λόγῳ,
Ἐν Ῥωσίᾳ ἔλλαμψε Χριστοῦ εἰς δόξαν.

Ταῖς τῶν Ἁγίων σου πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Ὠδὴ ζ΄. Ὁ διασώσας ἐν πυρί.

Ὡς ἐν χωνείᾳ μυστικῇ, τῇ τῶν πειρασμῶν καταιγίδι, δοκιμασθεὶς πολυειδῶς, ὡς χρυσίον καθαρώτατον ἤστραψας, ἐκβοῶν Πάτερ Μάξιμε· Ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

Τῇ τετμημένῃ σου χειρί, τέτμηκας ἐχθροῦ ἐπηρείας, καὶ τῇ τῆς γλώττης ἐκκοπῇ γλωσσαλγίας τῶν αἱρέσεων ἔπαυσας, ἐκβοῶν Πάτερ Μάξιμε· Ὁ Θεὸς ὁ τῶν Πατέρων εὐλογητὸς εἶ.

Τῇ δροσοβόλῳ ἀστραπῇ, τῆς θεοφανοῦς θεωρίας, καθάπερ ἄλλος Μωϋσῆς, ὑπεισδύων ἐμυήθης τὰ ἄρρητα, τῆς ἐν Πνεύματι γνώσεως, καὶ ἐμύησας τὰ τέκνα τῆς Ἐκκλησίας.

Ἄρτος Ἀγγέλων ἀληθῶς, νέκταρ μυστικῆς ἀμβροσίας, μάννα τρυφῆς ἐξ οὐρανοῦ, καὶ ἡδύτατον ψυχῆς ἀδολέσχημα, ἡ πυκτὶς τῶν ῥημάτων σου, ὄντως πέλει ἡμῖν Μάξιμε θεηγόρε.

www.tezaurliturgic.ro

Θεοτοκίον.

Νενεκρωμένον τὸν Ἀδάμ, διὰ παραβάσεως πάλαι, ἐζωοποίησας Ἁγνή, τὸν θανάτου καὶ ζωῆς κυριεύοντα, μετὰ σώματος τέξασα, τὸν πηγάζοντα τῷ κόσμῳ ζωὴν Παρθένε.

Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.

Γνώμῃ ἀνενδότῳ θεοφόρε, ὡς φύλαξ Ὀρθοδοξίας καὶ ἑδραίωμα, ἐξορίας ἔφερες, κακουχίας ἤνεγκας, καὶ ἕως γήρως Μάξιμε ἀγωνιζόμενος, ἐβόας τῷ Θεῷ καὶ Σωτῆρι· Σὲ ὑπερυψοῦμεν, ὦ Ζωοδότα Λόγε.

„Ἔφλεξας πυρὶ τῶν σῶν δογμάτων, σαθρὰ μονοφυσιτῶν Πάτερ διδάγματα, ἐν δυσὶ ταῖς φύσεσιν, ἅμα καὶ θελήσεσιν, ὁμολογῶν θεόπνευστε, τὸν ὑποστήσαντα, ἐν ἑαυτῷ Ἀδὰμ τὴν οὐσίαν, μεθ᾿ ἧς πάλιν ἥξει, κριτὴς πάντων ἀνθρώπων.

Ῥήματα ζωῆς προσεπιστέλλων, ἐκ τῆς ὑπερορίας διετέλεσας, δι᾿ ὧν τὴν διάνοιαν, τῶν πιστῶν ἐστήριζες, καὶ εὐσεβῶς ἐρρύθμιζες τοὺς ἀνακράζοντας· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

„Ἄρουρα ἀνήροτος ὡράθης, βλαστήσασα ἀποτίστως θεονύμφευτε, ἄνθος τὸ ἀμάραντον, τὸν τῶν ὅλων Κύριον, ὀσμὴν ζωῆς δωρούμενον τοῖς ἐκβοῶσί σοι· χαρᾶς χαῖρε πηγὴ καὶ αἰτία· χαῖρε μυροθήκη, τοῦ ἀθανάτου μύρου.

Ὠδὴ θ΄. Ἅπας γηγενής.

Στόματι λαμπρῷ, Χριστὸν ὡμολόγησας, ἐν δύο φύσεσιν, ἅμα καὶ θελήσεσι, καὶ ἐνεργείαις τελείαις Μάξιμε, μιᾷ ἐν ὑποστάσει δὲ Θεὸν καὶ ἄνθρωπον, ἀσυγχύτως οὐ συναλοιφόμενον, ἀλλ᾿ οὐδὲ διαιρούμενον Ὅσιε.

www.tezaurliturgic.ro

Ἱεροπρεπής, τῇ ὄψει δεικνύμενος καὶ ἱλαρώτατος, ὡς Κυρίου σύμμορφος, ἡδὺς τοῖς τρόποις ὤφθης καὶ ἄπλαστος, τὸν λόγον δὲ ὡς ἴαμα ψυχῶν σωτήριον, καὶ ὡς ὕδωρ, θεῖον ἀνεβλύστανες, ἐκ χειλέων σταζόντων γλυκύτητα.

Μέτοχος ζωῆς, ἀλήκτου γεγένησαι λιπὼν τὰ πρόσκαιρα, καὶ τοῖς ὑπὲρ ἔννοιαν, ἀποκατέστης ἀμέσως Ὅσιε, τρυφὴ δὲ διεδέξατο ἡ ἀνεκλάλητος, τοὺς μακροὺς σου, πόνους καὶ τὰ σκάμματα, οὓς ἀνέτλης, τῷ πόθῳ τοῦ Κτίστου σου.

Ὅρμημα παθῶν, δεινῶν συνθλιβόντων με καὶ τυραννούντων με, παῦσον καὶ ἀφάνισον, ταῖς πρὸς τὸν Κτίστην Πάτερ πρεσβείαις σου, καὶ πρὸς σοφίας ἔλλαμψιν τὸν νοῦν μου πτέρωσον, ἵνα θείας ἐντρυφήσω χάριτος, ὁ τολμήσας ὑμνῆσαί σε Μάξιμε.

Θεοτοκίον.

Ὕψος ἀρετῶν, καὶ βάθος ἀμέτρητον ἐν σοὶ ἐγνώρισται, μόνη Ἀειπάρθενε· τίς οὖν ὑμνήσει τὰ μεγαλεῖά σου; σὺ γὰρ ἐκυοφόρησας τὸν Ὑπερούσιον, ὃν ὑμνοῦσιν Ἀσωμάτων τάγματα, καὶ τὰ πάντα ὑπείκει τῷ νεύματι.

Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς συνέλθωμεν.

Θεολογῶν ἐκήρυξας, μίαν φύσιν Τριάδος, καὶ μίαν Πάτερ θέλησιν, καὶ ἐνέργειαν μίαν· Θεοῦ δὲ τοῦ σαρκωθέντος, δύο φύσεις θελήσεις, καὶ ἐνεργείας Μάξιμε, πάνσοφε θεοφάντορ, ὁμολογῶν θεομάχων αἵρεσιν καταστρέφεις· ὑφ᾽ ὧν τὴν χεῖρα γλῶττάν τε, ἐκτμηθεὶς Μάρτυς ὤφθης.

Ἕτερον. Τῶν Μαθητῶν ὁρώντων σε.

Καταυγασθεὶς τῇ ἄνωθεν ἐπιπνοίᾳ, ὑφηγητὴς τῆς θείας ἐκφαντορίας, διαπρεπὴς ἐδείχθης Πάτερ Μάξιμε, τὰς προϊούσας πάντοτε, ἐκ τῆς Ἁγίας Τριάδος, λογογραφῶν διαδόσεις.

www.tezaurliturgic.ro

Θεοτοκίον.

Ἐκ τῶν ἁγνῶν αἱμάτων σου καὶ ἀχράντων, ὁ ἐν Πατρῴοις κόλποις συνεδριάζων, Λόγος ὁ Ὑπέρθεος σεσάρκωται, δίχα τροπῆς καὶ φύρσεως, ἀνακαινίζων τὸν κόσμον, Θεογεννῆτορ Παρθένε.

Εἰς τοὺς Αἴνους.

Ἱστῶμεν στίχους δ΄ καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος!

Πάτερ θεορρῆμον Μάξιμε, θεολογίας φωτί, λαμπρυνθεὶς τὴν διάνοιαν, ἀπορρήτων ἔλλαμψιν, ἐν καρδίᾳ ἐπλούτησας, τὰ ὑπὲρ λόγον μυσταγωγούμενος, καὶ διὰ λόγου ἡμᾶς μυούμενος· ὢ ἧς ἠξίωσαι, θεαυγείας Ἅγιε! ἀνακραθείς, βίου καθαρότητι, τῷ Θείῳ Πνεύματι.

Πάτερ θεηγόρε Μάξιμε, θεηγορίᾳ λαμπρᾷ, ἱερῶς σεμνυνόμενος, ὑποφήτης ἔνθεος, εὐσεβείας γεγένησαι, αἱρετιζόντων λύων τὴν ἔνστασιν, καὶ ἀληθείας φαίνων τὴν ἔλλαμψιν, λόγοις καὶ δόγμασι, καὶ στερροῖς παλαίσμασι, θεολογῶν, τὴν ἀπερινόητον, τοῦ Λόγου κένωσιν.

Πάτερ θεοφόρε Μάξιμε, μαρτυρικῶς ἐναθλῶν, τοῦ Κυρίου τὰ στίγματα, τῇ σαρκί σου ἔφερες, ἐξορίαις στελλόμενος, καὶ ἐκτμηθείς σου χεῖρα τὴν ἔνθεον, καὶ τὴν σὴν γλῶτταν τὴν θεορρήμονα, οὐδόλως ἔπαυσας, ἄγλωττος ὢ θαύματος! ὁμολογῶν, ἀκλινεῖ φρονήματι, Χριστὸν τὸν Κύριον.

Πάτερ θεορρῆμον Μάξιμε, Ὀρθοδοξίας κανών, ἐγκρατείας διδάσκαλος, σωφροσύνης ἄγαλμα, καὶ ἀνδρείας ὑπόδειγμα, τῆς Ἐκκλησίας στῦλος ἀκράδαντος, τῆς ἀληθείας στερρὸς ὑπέρμαχος, πλάνης καθαίρεσις, ἀρετῶν κειμήλιον, καὶ χαρακτήρ, γέγονας μακάριε, τῇ πολιτείᾳ σου.

www.tezaurliturgic.ro

Δόξα. Ἦχος πλ. β΄.

Φιλοσοφίᾳ κοσμήσας τὸν βίον σου, θεοσοφίᾳ σαυτὸν κατελάμπρυνας· ὅθεν ἐν ἀμφοτέροις εὐδοκιμῶν, τῇ καλῇ ὁμολογίᾳ, ἐσφράγισας ἀμφότερα, τρισόλβιε Μάξιμε. Παρρησίαν οὖν ἔχων πρὸς Χριστὸν τὸν Θεόν, ἐκτενῶς ἱκέτευε, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.

Θεοτόκε σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς· σὲ ἱκετεύομεν· Πρέσβευε Δέσποινα μετὰ τοῦ Ὁσίου, καὶ πάντων τῶν Ἁγίων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Δοξολογία μεγάλη καὶ Ἀπόλυσις.

www.tezaurliturgic.ro

## ΕΝ Τῌ͂ ΛΕΙΤΟΥΡΓΙᾼ͂

Ἀπόστολος καὶ Εὐαγγέλιον τοῦ Ὁσίου.

Προκείμενον τοῦ Ἀποστόλου. Ἦχος βαρύς. Ψαλμὸς ριε´ (115).

Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Στίχ. Τί ἀνταποδώσω τῷ Κυρίῳ περὶ πάντων, ὧν ἀνταπέδωκέ μοι;

Στίχ. Σοὶ θύσω θυσίαν αἰνέσεως καὶ ἐν ὀνόματι Κυρίου ἐπικαλέσομαι.

Πρὸς Φιλιππησίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα (α´ 12-20).
(Ζήτει τῇ Τετάρτῃ τῆς ΙΘ´ ἑβδομάδος)

Ἀδελφοί, γινώσκειν ὑμᾶς βούλομαι, ὅτι τὰ κατ' ἐμὲ μᾶλλον εἰς προκοπὴν τοῦ εὐαγγελίου ἐλήλυθεν· ὥστε τοὺς δεσμούς μου φανεροὺς ἐν Χριστῷ γενέσθαι ἐν ὅλῳ τῷ πραιτωρίῳ καὶ τοῖς λοιποῖς πᾶσι· καὶ τοὺς πλείονας τῶν ἀδελφῶν ἐν Κυρίῳ πεποιθότας τοῖς δεσμοῖς μου, περισσοτέρως τολμᾶν ἀφόβως τὸν λόγον λαλεῖν. Τινὲς μὲν καὶ διὰ φθόνον καὶ ἔριν, τινὲς δὲ καὶ δι' εὐδοκίαν, τὸν Χριστὸν κηρύσσουσιν. Οἱ μὲν ἐξ ἐριθείας, τὸν Χριστὸν καταγγέλλουσιν, οὐχ ἁγνῶς, οἰόμενοι θλῖψιν ἐπιφέρειν τοῖς δεσμοῖς μου· οἱ δὲ ἐξ ἀγάπης,

www.tezaurliturgic.ro

εἰδότες ὅτι εἰς ἀπολογίαν τοῦ εὐαγγελίου κεῖμαι. Τί γάρ; πλὴν παντὶ τρόπῳ εἴτε προφάσει εἴτε ἀληθείᾳ, Χριστὸς καταγγέλλεται· καὶ ἐν τούτῳ χαίρω, ἀλλὰ καὶ χαρήσομαι. Οἶδα γάρ, ὅτι τοῦτό μοι ἀποβήσεται εἰς σωτηρίαν διὰ τῆς ὑμῶν δεήσεως, καὶ ἐπιχορηγίας τοῦ Πνεύματος Ἰησοῦ Χριστοῦ, κατὰ τὴν ἀποκαραδοκίαν καὶ ἐλπίδα μου.

Ἀλληλουϊάριον τοῦ Εὐαγγελίου.

Ἀλληλούϊα. Ἦχος πλ. α΄. Ψαλμὸς ϟς΄ (96)

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

Στίχ. Φῶς ἀνέτειλε τῷ δικαίῳ καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ εὐφροσύνη.

Στίχ. Εὐφράνθητε, δίκαιοι, ἐν τῷ Κυρίῳ, καὶ ἐξομολογεῖσθε τῇ μνήμῃ τῆς ἁγιωσύνης αὐτοῦ.

Στίχ. Οἱ ἀγαπῶντες τὸν Κύριον, μισεῖτε πονηρά.

Στίχ. Φυλάσσει Κύριος τὰς ψυχὰς τῶν ὁσίων αὐτοῦ, ἐκ χειρὸς ἁμαρτωλῶν ῥύσεται αὐτούς.

Ἐκ τοῦ κατὰ Λουκᾶν (ιβ΄ 8-12).
(Ζήτει τῇ 6ῃ Νοεμβρίου)

Εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ μαθηταῖς· Πᾶς ὃς ἂν ὁμολογήσῃ ἐν ἐμοὶ ἔμπροσθεν τῶν ἀνθρώπων, καὶ ὁ Υἱὸς τοῦ ἀνθρώπου ὁμολογήσει ἐν αὐτῷ ἔμπροσθεν τῶν ἀγγέλων τοῦ Θεοῦ· ὁ δὲ ἀρνησάμενός με ἐνώπιον τῶν ἀνθρώπων ἀπαρνηθήσεται ἐνώπιον τῶν ἀγγέλων τοῦ Θεοῦ. Καὶ πᾶς ὃς ἐρεῖ λόγον εἰς τὸν Υἱὸν τοῦ ἀνθρώπου, ἀφεθήσεται αὐτῷ· τῷ δὲ εἰς τὸ Ἅγιον Πνεῦμα βλασφημήσαντι οὐκ ἀφεθήσεται. Ὅταν δὲ προσφέρωσιν ὑμᾶς ἐπὶ τὰς συναγωγὰς καὶ τὰς ἀρχὰς καὶ τὰς ἐξουσίας, μὴ μεριμνᾶτε πῶς ἢ τί ἀπολογήσησθε ἢ

www.tezaurliturgic.ro

τί εἴπητε· τὸ γὰρ Ἅγιον Πνεῦμα διδάξει ὑμᾶς ἐν αὐτῇ τῇ ὥρᾳ ἃ δεῖ εἰπεῖν.

Κοινωνικόν· Εἰς μνημόσυνον αἰώνιον ἔσται δίκαιος. Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα.

Δίστιχον.
Μάξιμε παμμάκαρ, σόφισον τὸν νοῦν μου
Γερασίμου μέλποντος τοὺς σοὺς ἀγῶνας.

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro

www.tezaurliturgic.ro